# ΛΟΥΚΙΑΝΟΥ

## ΣΑΜΟΣΑΤΕΩΣ

# ΤΟΞΑΡΙΣ Η ΦΙΛΙΑ.

ΜΕΤΑΤΥΠΩΘΕΙΣ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΜΑΘΗΤΩΝ

ΤΟΥ ΕΝ ΑΙΓΙΝΗΙ ΚΕΝΤΡΙΚΟΥ ΣΧΟΛΕΙΟΥ.



ΕΝ ΑΙΓΙΝΗΙ,

ΕΝ ΤΗΙ ΕΘΝΙΚΗΙ ΤΥΠΟΓΡΑΦΙΑΙ

ΔΙΕΥΘΥΝΟΜΕΝΗΙ ΠΑΡΑ Γ. ΑΠΟΣΤΟΛΙΔΟΥ ΚΟΣΜΗΤΟΥ.

1830.

# ΛΟΥΚΙΑΝΟΥ

### ΣΑΜΟΣΑΤΕΩΣ

# ΤΟΞΑΡΙΣ Ἢ ΦΙΛΙΑ.

### ΜΝΗΣΙΠΠΟΣ ΚΑΙ ΤΟΞΑΡΙΣ.

ΜΝΗΣ. Τί φὴς, ὦ Τόξαρι; θύετε Ὀρέστῃ καὶ Πυλάδῃ ὑμεῖς οἱ Σκύθαι, καὶ θεοὺς εἶναι πεπιστεύκατε αὐτούς;

ΤΟΞ. Θύομεν, ὦ Μνήσιππε, θύομεν· οὐ μὴν θεούς γε οἰόμενοι, ἀλλὰ ἄνδρας ἀγαθούς.

ΜΝΗΣ. Νόμος δὲ ὑμῖν καὶ ἀνδράσιν ἀγαθοῖς ἀποθανοῦσι θύειν ὥσπερ θεοῖς;

ΤΟΞ. Οὐ μόνον, ἀλλὰ καὶ ἑορταῖς καὶ πανηγύρεσι τιμῶμεν αὐτούς.

ΜΝΗΣ. Τί θηρώμενοι παρ᾽ αὐτῶν; οὐ γὰρ δὴ ἐπ᾽ εὐμενείᾳ θύετε αὐτοῖς, νεκροῖς γε οὖσιν.

ΤΟΞ. Οὐ χεῖρον μὲν ἴσως, εἰ καὶ οἱ νεκροὶ ἡμῖν εὐμενεῖς εἶεν· οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ζῶντας ἄμεινον οἰόμεθα πράξειν, μεμνημένοι τῶν ἀρίστων, καὶ τιμῶντες ἀποθανόντας· ἡγούμεθα γὰρ οὕτως ἂν ἡμῖν πολλοὺς ὁμοίους αὐτοῖς ἐθελῆσαι γενέσθαι.

2. ΜΝΗΣ. Ἀλλὰ ταῦτα μὲν ὀρθῶς γινώσκετε. Ὀρέστην δὲ καὶ Πυλάδην, τίνος μάλιστα θαυμάσαντες, ἰσοθέους ἐποιήσασθε καὶ ταῦτα, ἐπήλυδας ὑμῖν ὄντας, καὶ τὸ μέγιστον, πολεμίους; οἵγε, ἐπεὶ σφᾶς ναυαγίᾳ περιπεσόντας οἱ τότε Σκύθαι συλλαβόντες ἀπήγαγον, ὡς τῇ Ἀρτέμιδι καταθύσοντες, ἐπιθέμενοι τοῖς δεσμοφύλαξι, καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες, τόν τε βασιλέα κτείνουσι, καὶ τὴν ἱέρειαν παραλαβόντες, ἀλλὰ καὶ

καὶ τὸ δα σίγη κορμὶ Δημητριάδ.